λοχον φέρεται, Καλλῖνος δὲ πρεσβύτερος οὐ μακρῷ· τῶν γὰρ Μαγνήτων ὁ μὲν Ἀρχίλοχος ἀπολωλότων, ὁ δὲ εὐημερούντων μέμνηται.

**21** Plut. *de exilio* 12 p. 604c καθάπερ Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον εἰπών·

ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής.

**22** Ath. 523d περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονός φησιν·

οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

Cf. *Et. Magn.* p. 714. 11.
Hesych. ἀμφ' Ἀκίριος ῥοάς· Ἄκιρις ποταμός.

**23** P. Oxy. 2310 fr. 1 col. i. 1-21, ed. Lobel
(fragmenta versuum iv)

]. . . . .[ ]. .[ ]. . . . . γὰρ ἐργματ[
]. . . . .[ ]. . . . . . . . . .ιχα. .ω [
.].[]ρ.βα. . . . . . . . . .δε. .[ω]ρ ἠμειβόμ[ην·
“γύνα[ι], φάτιν μὲν τὴν πρὸς ἀνθρώπω[ν κακὴν
μὴ τετραμήνηις μηδέν· ἀμφὶ δ' εὐφ[ρόνηι,
ἐμοὶ μελήσει· [θ]υμὸν ἵλ[α]ον τίθεο. [
ἐς τοῦτο δή τοι τῆς ἀνολβίης δοκ[έω
ἥκειν; ἀνήρ τοι δειλὸς ἆρ' ἐφαινόμην[,
οὐ]δ' οἷός εἰμ' ἐγὼ [ο]ὗτος οὐδ' οἵων ἄπο. [